ποιήσετε ἐν ὑμῖν· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [29]οὐ βεβηλώσεις 29
τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτήν, καὶ οὐκ ἐκπορνεύσει ἡ γῆ
καὶ ἡ γῆ πλησθήσεται ἀνομίας.

[30]Τὰ σάββατά μου φυλάξεσθε καὶ ἀπὸ τῶν ἁγίων μου φοβη- 30
θήσεσθε· ἐγώ εἰμι κύριος. [31]οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις 31
καὶ τοῖς ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε ἐκμιανθῆναι ἐν αὐτοῖς·
ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [32]ἀπὸ προσώπου πολιοῦ ἐξαναστή- 32
σῃ καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου καὶ φοβηθήσῃ τὸν θεόν
σου· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.

[33]Ἐὰν δέ τις προσέλθῃ προσήλυτος ὑμῖν ἐν τῇ γῇ ὑμῶν, οὐ 33
θλίψετε αὐτόν· [34]ὡς ὁ αὐτόχθων ἐν ὑμῖν ἔσται ὁ προσήλυτος ὁ 34
προσπορευόμενος πρὸς ὑμᾶς, καὶ ἀγαπήσεις αὐτὸν ὡς σεαυτόν,
ὅτι προσήλυτοι ἐγενήθητε ἐν γῇ Αἰγύπτῳ· ἐγώ εἰμι κύριος ὁ θεὸς
ὑμῶν. [35]οὐ ποιήσετε ἄδικον ἐν κρίσει ἐν μέτροις καὶ ἐν σταθμίοις 35
καὶ ἐν ζυγοῖς· [36]ζυγὰ δίκαια καὶ στάθμια δίκαια καὶ χοῦς δίκαιος 36
ἔσται ὑμῖν· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς
Αἰγύπτου.

[37]Καὶ φυλάξεσθε πάντα τὸν νόμον μου καὶ πάντα τὰ προστάγ- 37
ματά μου καὶ ποιήσετε αὐτά· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.

[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Καὶ τοῖς υἱοῖς Ισραηλ 20
λαλήσεις Ἐάν τις ἀπὸ τῶν υἱῶν Ισραηλ ἢ ἀπὸ τῶν προσγεγενη-
μένων προσηλύτων ἐν Ισραηλ, ὃς ἂν δῷ τοῦ σπέρματος αὐτοῦ
ἄρχοντι, θανάτῳ θανατούσθω· τὸ ἔθνος τὸ ἐπὶ τῆς γῆς λιθοβολή-
σουσιν αὐτὸν ἐν λίθοις. [3]καὶ ἐγὼ ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ 3
τὸν ἄνθρωπον ἐκεῖνον καὶ ἀπολῶ αὐτὸν ἐκ τοῦ λαοῦ αὐτοῦ, ὅτι
τοῦ σπέρματος αὐτοῦ ἔδωκεν ἄρχοντι, ἵνα μιάνῃ τὰ ἅγιά μου καὶ
βεβηλώσῃ τὸ ὄνομα τῶν ἡγιασμένων μοι. [4]ἐὰν δὲ ὑπερόψει ὑπερ- 4
ίδωσιν οἱ αὐτόχθονες τῆς γῆς τοῖς ὀφθαλμοῖς αὐτῶν ἀπὸ τοῦ
ἀνθρώπου ἐκείνου ἐν τῷ δοῦναι αὐτὸν τοῦ σπέρματος αὐτοῦ ἄρ-
χοντι τοῦ μὴ ἀποκτεῖναι αὐτόν, [5]καὶ ἐπιστήσω τὸ πρόσωπόν μου 5
ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον καὶ τὴν συγγένειαν αὐτοῦ καὶ ἀπολῶ
αὐτὸν καὶ πάντας τοὺς ὁμονοοῦντας αὐτῷ ὥστε ἐκπορνεύειν αὐ-
τὸν εἰς τοὺς ἄρχοντας ἐκ τοῦ λαοῦ αὐτῶν. [6]καὶ ψυχή, ἣ ἐὰν ἐπα- 6
κολουθήσῃ ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς ὥστε ἐκπορνεῦσαι ὀπίσω
αὐτῶν, ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην καὶ
ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς. [7]καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγὼ 7
κύριος ὁ θεὸς ὑμῶν· [8]καὶ φυλάξεσθε τὰ προστάγματά μου καὶ 8

28 ειμι: cf. 12 || 29 εμπλησθησεται A† || 30 φοβηθ.] pr. μη B*† || 31 επακολουθησεσθε A || 34 ο 1° > A || 37 φυλαξεσθε: cf. 3

20 2 απο 2° B†] > A | προσγεγενημενων A(-γεννη-)] προσ > B | ισραηλ 3°] pr. τω A† | του σπερμ.] pr. απο A || 4 του ult. > A† || 6 η 1° > A | αυτης] -του A† || 7 αγιος / εγω — υμων] tr. et post αγ. add. ειμι A†